# TEZAUR LITURGIC

**1 AUGUST**

**ANTONIOS MARKOU**

# ACATISTUL SF.MUCENIȚE CASANDRA DE LA TRAPEZUNT

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 1 Αὐγούστου
# Χαιρετισμοί Νεομάρτυρος ΚΑΣΣΑΝΔΡΑΣ τῆς Τραπεζουντίας

## Ποίημα Ἀντώνίος Μάρκου

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὤ τῆς πολλῆς σου, πρὸς Χριστὸν παρρησίας* καὶ τῆς ἀπείρου σου, σεμνὴ, καρτερίας,* δι’ ἧς καί κατήσχυνας τὸν πάλαι Ἰσμαήλ* καὶ κατεξολόθρευσας* τὰς βουλὰς τῶν ἀπίστων* τῇ ἐνδόξῳ στάσει σου,* ὦ Κασσάνδρα παμμάκαρ·* διὸ αἰτοῦμεν Μάρτυς τοῦ Χριστοῦ* σκέπε σοὺς δούλους* τῇ θείᾳ πρεσβείᾳ σου.

Ἀστήρ ἐκ Τραπεζοῦντος ἀνεφάνης, θεόφρον,* (γ΄) ἐν αὐτῇ ἀγωνισαμένῃ, ἐν καιροῖς δουλείας τοῦ Γένους ἡμῶν·* ἐκεῖθεν δέ ἀνατείλασα τῷ κόσμῳ* αὐγάζεις ἡμᾶς φωτί τῷ τοῦ Πνεύματος,* λυτρουμένη τῶν παθῶν* καί τῇ πίστ ει στηρίζεις τούς βοῶντας σοι·

Χαῖρε, ἁγίων Μαρτύρων τῶν πρώτων ἡ διάδοχος·

χαῖρε, ἐκείνων τοῦ βίου καὶ τῶν τρόπων ἡ μέτοχος.

Χαῖρε, ἡ ἐνεγκοῦσα βασάνους ὑπέρ Χριστοῦ σοῦ Νυμφίου·

χαῖρε, ἡ ὑποστάσα τούς πόνους τοῦ φρικτοῦ μαρτυρίου.

Χαῖρε, ἡ τόν βελίαρ, τόν ὄφιν, τῷ σῷ ἀγῶνι πατάξασα·

χαῖρε, ἡ Ὁμολογίαν Κυρίου τοῖς ὑποδούλοις διδάξασα.

Χαῖρε, ἡ τῆς πλάνης Μωάμεθ τάς ἐνέδρας καθελοῦσα·

χαῖρε, ἡ τοῦ ῥέοντος κόσμου τά ἐπίκηρα ἀνελοῦσα.

Χαῖρε, τῶν Παθῶν τοῦ Κυρίου μιμητής τῶν ζωηφόρων·

χαῖρε, Μαρτύρων ἀρχαίων ζηλώτρια τῶν θεοφόρων.

Χαῖρε, τό τοῦ Πόντου αἱματοπότιστον ἴον·

χαῖρε, τό φιλογενίας καί εὐγενείας ταμεῖον.

Χαίροις Κασσάνδρα πανεύφημε.

Βασιλείας οὐρανῶν* τό ἀείφωτον ἐκέκτησω δι’ ἀθλήσεως,* Κασσάνδρα Νεομάρτυς,* ἐν βασάνοις ὁμολογήσασα Χριστόν* Θεόν σεσαρκωμένον,* εἰς ἔλεγχον τῶν Ἀγαρηνῶν

τυράννων·* διό καί ἀλήκτου ζωῆς ἠξιώθης* Αὐτῷ κράζουσα.

Ἀλληλούϊα.

Γένους τῶν Ὀρθοδόξων τιμιώτατον γέρας* καί Ποντίων Ἑλλήνων αἱματοβαφές ἴον* ὁμολογοῦμεν σε Κασσάνδρα,* τῶν Ὑψηλαντῶν Πριγκίπων προμήτωρ καί ῥίζα,* τῆς Τραπεζοῦντος τῆς ποτέ τῶν Κομνηνῶν καθέδρας* ἀειθαλές κινάμωμον·* διό ἐν τιμῇ σοί κράζομεν·

Χαῖρε, τό ἀπάνθισμα Τραπεζοῦντος τῆς κλεινῆς·

χαῖρε, τό ἀγλάϊσμα Ὀρθοδόξων τῆς ψυχῆς.

Χαῖρε, τό τοῦ Κυρίου ἐθελούσιον θῦμα·

χαῖρε, τό διαβόλου καιριότατον πλῆγμα.

Χαῖρε, ἀγάπης τοῦ Χριστοῦ τό ἔσοπτρον·

χαῖρε, ἀπάτης τοῦ βελίαρ τό δρέπανον.

Χαῖρε, τῆς ἀγάπης τῆς θείας θησαύρισμα·

χαῖρε, τῆς ἀληθείας τοῦ Λόγου ἐναύλισμα.

Χαῖρε, ἡ μαρτυρήσασα προθύμως ἐν σταδίῳ·

χαῖρε, ἡ ἁγιάσασα σόν σῶμα τῷ μαρτυρίῳ.

Χαῖρε, ἡ ὑπάρχουσα τοῦ Παραδείσου εὐωδία·

χαῖρε, ἡ ἐλαύνουσα τήν τῶν παθῶν δυσωδίαν.

Χαίροις Κασσάνδρα πανεύφημε.

Δόξαν
τήν τοῦ Σωτῆρος ὁλοτρόπως ποθοῦσα,*
σόν βίον ἐν ἀρετῇ καί εὐποιΐᾳ ἠνάλωσας,* Κασσάνδρα θεότιμε·* διό καί τέλους μαρτυρικοῦ ὁ Χριστός σέ ἠξίωσεν,* τήν σήν γενέτειραν χθόνα ἁγιάσας σοῖς αἵμασι·*
ὅθεν Αὐτῷ ἀπό καρδίας ἐκβοῶμεν·

Ἀλληλούϊα.

Εὐλογοῦμεν Κασσάνδραν,* Τραπεζοῦντος τό θρέμμα* καί ταύτης τό κλεινόν ἀπάνθισμα·* αὔτη γάρ,* οἷαπερ μέλισσα νοητή* τά κρείττονα ζ ηλοῦσα,* ἀθλήσεως τήν ὁδόν* τήν πρός οὐρανόν ἐπάγουσαν* ἀκολουθῆσαι κατηξίωται·* διό ἀκούει παρ᾽ ἡμῶν τοιαῦτα·

Χαῖρε, Ναοῦ τῆς Παρθένου, σοῖς Λειψάνοις, θησαυρός·

χαῖρε, Ποντίων προστάτις καί προσφύγων ὁδηγός.

Χαῖρε, Πόντου Εὐξείνου ἐρωδιός ὁ οὐρανόφθογγος·

χαῖρε, λαοῦ σου κινύρα εὐσεβείας ἡ γλυκύλαλος.

Χαῖρε, κρῖνον τό ἐν Τραπεζοῦντι ἐνδόξως ἀκμάσαν·

χαῖρε, ἡ εὐφραίνουσα δόξῃ τήν ὑφήλιον πᾶσαν.

Χαῖρε,ἀστήρ νεόφωτος τοῦ νοητοῦ στερεώματος

χαῖρε, ὑψίστη ἀνόρθωσις ἀρνησιχρίστων τοῦ πτώματος.

Χαῖρε, Χριστοῦ ὁμολογίας κανών ὁ εὐθύτατος·

χαῖρε, Ἀγαρηνῶν κακονοίας μάχαιρα ἡ ἀμφίστομος.

Χαῖρε, δι’ ἧς οἱ πιστοί ἐν εὐφροσύνῃ σκιρτῶσι·

χαῖρε, δι’ ἧς οἱ ἐχθροί ἐντραπέντες σιγῶσι.

Χαίροις Κασσάνδρα πανεύφημε.

Ζῆλον θεῖον ὡς φλόγα τῇ σῇ ψυχῇ κεκτημ ένη,* Κασσάνδρα θεσπεσία,* βιοτῆς τῆς προσκαίρου τά τερπνά παρ εῖδες* καί ἀθλήσεως τήν ὁδόν προέκρινας,* ὅτε καιρός ἐπέστη,* δι’ ἧς οὐρανίων δωρεῶν ἐγένου ἀξία* τῷ Νυμφίῳ σου βοῶσα·

Ἀλληλούϊα.

Ἤστραψεν τῷ νοητῷ τῆς Ἐκκλησίας στερεώ ματι Κασσάνδρα,* ἀξίως ἐπισκοπεύσασα τῶν παθῶν,*

πόᾳ τῇ τοῦ Πνεύματος ἐκθρεψαμένη·* παιδείας δέ τῆς ψυχῆς δραξαμένη,* οὐκ ὠργίσθη αὐτῇ ὁ Κύριος, ὡς ὁ Προφητάναξ ἐκβοᾷ·* διό μετ’ εὐφροσύνης αὐτῇ λέγομεν·

Χαῖρε, ἡ ὑπάρχουσα τῶν Ὀρθοδόξων λαμπρότης·

χαῖρε, ἡ ἐντυγχάνουσα τῆς Ἐκκλησίας φαιδρότης.

Χαῖρε, κῆρυξ διαπρύσιος τῆς ἀγάπης τοῦ Θεοῦ·

χαῖρε, μάχαιρα ἀμφίστομος τῆς ἀπάτης τοῦ ἐ χθροῦ.

Χαῖρε, σύναξις εὐφρόσυνος καί σεπτή παρεμβ ολή·

χαῖρε,πτῶσις ἡ τοῦ δράκοντος καί ἡμῶν κατα φυγή.

Χαῖρε, ἡ γεωργίας καινῆς τό λαμπρόν ἀπάνθισμα·

χαῖρε, τό οὐρανίας πατρίδος τό φωτοφόρον πόλισμα.

Χαῖρε, ἡ Ἀγαρηνῶν ἐμβασάνως καταργήσασα πλάνην·

χαῖρε, ἡ πιστοῖς δεομένοις πλουσίαν νέμουσα χάριν.

Χαῖρε, ῥεῖθρον εὐῶδες αἱμάτων τῶν μαρτυρικῶν·

χαῖρε, ἄνθος ῥοδόχρουν τῆς Βασιλείας Οὐρανῶν.

Χαίροις Κασσάνδρα πανεύφημε.

Θεοῦ δῶρον ἡμῖν ἐδόθης,* Κασσάνδρα ἀξιάγαστε·* ἐν καιροῖς γάρ δυσχημέροις* Χριστόν ὁμολογήσασα εἶναι Θεόν σεσαρκωμένον,* πρό βήματος τυραννικοῦ,* βασάνους ὑπήνεγκας καί τέλους μαρτυρικοῦ ἠξιώθης,* ἐν μέσῳ δύο κυπαρίσσων δεθεῖσα,* τῷ Κυρίῳ ψάλλουσα·

Ἀλληλούϊα.

Ἰδεῖν ἡμέραν Κυρίου ἐπιποθοῦσα μετά λῆξιν,* σοῖς συντόνοις ἐγκρατείας καμάτοις*
τόν Κύριον εὐηρέστησας* καί Παραδείσου τάς πύλας σαὐτῇ ἠνέωξας,* μαρτυρικῷ τῷ τρόπῳ,* Κασσάνδρα Νεομάρτυς·* διό κατά χρέος σοί ἐκβοῶμεν,* ἀπό καρδίας ψάλλοντες·

Χαῖρε, ἡ τοῦ Χριστοῦ πράξει κηρύξασα τό ὄνομα·

χαῖρε, ἡ τῆς χάριτος Αὐτοῦ δειχθεῖσα τό σκήνωμα.

Χαῖρε, νόμων τῶν τοῦ Πνεύματος ἀσφαλής ὑφηγήτρια·

χαῖρε, τρόπων κόσμου σχέσεων ἀληθής ἐκμει ώτρια.

Χαῖρε, ἄνθος εὐωδέστατον τῆς ἐν Χριστῷ ἀπαθείας·

χαῖρε, σκεῦος πολυτίμητον τῆς ἐκ Θεοῦ ἀκακίας.

Χαῖρε, ἡ τοῦ Σωτῆρος τόν Σταυρόν ἀραμένη·

χαῖρε, ἡ τήν μένουσαν Πόλιν τοῖς πιστοῖς δειξαμένη.

Χαῖρε, ἡ πλουτήσασα Μαρτύρων τήν ἔλλαμψιν

χαῖρε, ἡ ζηλώσασα Ἁγίων τήν κατάστασιν.

Χαῖρε, Μάρτυς ἡ νέα τῆς Ὀρθοδόξου ἡμῶν Πίστεως·

χαῖρε, Ἀγαρηνῶν ὀλετήρ τῆς ψυχοφθόρου οἰήσεως.

Χαίροις Κασσάνδρα πανεύφημε.

Καλλίνικον Μάρτυρα* τήν ἐκ Τραπεζοῦντος καί ἐν αὐτῇ ἀθλησάσῃ,* Πόντου τῷ

βλαστῷ καί καυχήματι* καί ἐρήμου τοῦ βίου τήν πολίτην τήν ἔνθεον,* ἀξιοχρέως τιμῶμεν οἱ πιστοί·* τῷ αὐτῇ δ’ ἁγιάσαντι Κυρίῳ,* δι’ Ὅν τό σῶμα ἔθυσεν,* ἐκβοῶμεν·

Ἀλληλούϊα.

Λαόν τῆς σῆς πατρίδος δι’ εὐποιΐας ἐπαραμύθησας·* ὅθεν ἀγάπης τῆς θείας ἐδέχθης τήν δροσίζουσαν φλόγαν,* Κασσάνδρα Μήτηρ ἡμῶν θειοτάτη,* καί στερρῶς τοῦ μαρτυρίου τόν δρόμον διήνυσας·* διό σοῦ τά παλαίσματα θαυμάζοντες λέγομεν·

Χαῖρε, ἡ μεγάλη τῇ θεοφρόνῳ ἀθλήσει·

χαῖρε, ἡ μέγιστη τῇ οὐρανίᾳ φρονήσει.

Χαῖρε, ἡ ὑποστάσα τέλος ἀπάνθρωπον·

χαῖρε, ἡ προχέουσα μῦρον οὐράνιον.

Χαῖρε, τοῦ Χριστοῦ ἐκλογεῖον τό θεῖον·

χαῖρε, τοῦ ἀκτίστου φωτός τό δοχεῖον.

Χαῖρε, ἡ μαρτυρίου τήν χάριν δεξαμένη·

χαῖρε, ἡ τῆς Ἄγαρ τήν λύμην τρεψαμένη.

Χαῖρε, δι’ ἥν ὁ ἐχθρός σατάν οἰμώζει·

χαῖρε, δι’ ἥν εὐσεβεῖς πιστοί σκιρτῶσι.

Χαῖρε, δι᾽ ἧς ἡ Τριάς εὐσεβῶς ἀνυμνεῖται·

χαῖρε, δι᾽ ἧς σός λαός ἀνυστάκτως φρουρεῖται.

Χαίροις Κασσάνδρα πανεύφημε.

Μένει εἰς τόν αἰῶνα τῆς Κασσάνδρας ἡ δόξα,*
ἥν ἐκτήσω ἐν τῷ σταδίῳ* τῷ αἵματι λελουμένη,*
Χριστόν ὁμολογοῦσα Θεόν ἐνανθρωπήσαντα·*
διό ὡς παρρησίαν πρός Αὐτόν κεκτημένη,*
πάσης ἀναγκης καί βλάβης διασώζει τούς βοῶντας·

Ἀλληλούϊα.

Νίκην τήν μόνην
καί μένουσαν διά βίου ζητοῦσα,*
ἀθλητικοῖς ἀγῶσι τόν ἀρχαῖον πτερνιστήν κατήσχυνας,* Κασσάνδρα Τραπεζουντία·*
διό τάς ἀριστείας σου ἐξυμνοῦντες* καί τάς σάς πρεσβείας πρός Θεόν ἐξαιτούμενοι,* χρεωστικῶς ἐν τιμῇ ἐκβοῶμέν σοι τοιαῦτα·

Χαῖρε, νεότευκτε πύργε τῆς Χριστοῦ Ἐκκλησίας·

χαῖρε, εὔηχε πτῶσις τῆς Ἰσμαήλ ἀγνωσίας.

Χαῖρε,ἡ πλησθεῖσα μενόντων δωρεῶν οὐρανίων·

χαῖρε, ἡ ἀποστάσα φθηρομένων ἐννοιῶν ἐπιγείων.

Χαῖρε, ἡ τῶν βασάνων ἰσχυροτέρα φανεῖσα·

χαῖρε, ἡ τῶν κόσμου ἡδέων ἀνωτέρα δειχθεῖσα.

Χαῖρε, δι' ἧς εὐσεβεῖς, ἐξ οὐρανοῦ φωταυγοῦνται·

χαῖρε, δι' ἧς δυσεβεῖς, διά παντός καταργοῦνται.

Χαῖρε,δόξα καί ἀντίληψις Ὀρθοδόξων εὐσεβῶν
χαῖρε, σκέπη καί κραταίωμα τῶν ὑφ' ἥλιον εὐλαβῶν.

Χαῖρε, δι' ἥν εὐσεβεῖς εὐφροσύνως σκιρτῶσι·

χαῖρε, πρός ἥν ἐν χαρᾷ μετ' εὐλαβείας βοῶσι.

Χαίροις Κασσάνδρα πανεύφημε.

Ξένη τῶν ἐν τῷ κόσμῳ ἀγαθῶν καί ἡδέων* καί πάροικος τ ῆς ὑπ' οὐρανόν ὄντως ἐφάνης ἐπί τῷ τέλει,* Κασσάνδρα μακαρία,* ἀπανθρώπως τελειωθεῖσα·* ὅθεν Ὀρθόδοξοι πάντες κατά χρέος τιμῶντές σε,* Κυρίῳ τῷ σέ ἁγιάσαντι βοῶμεν·

Ἀλληλούϊα.

Ὅλως ἡγιασμένη* καί τοῖς αἵμασι λελουσμέ νη,* ἡμῖν παρά Κυρίου ἐδόθης,*

εἰς πρεσβείαν πρός Αὐτόν, Νεομάρτυς·* μαρτυρίου τούς στεφάνους γάρ καί τῆς εὐποιΐας συγκεράσας,* ἰσχύν παρέχεις ἡμῖν τοῖς εὐγνωμόνως ψάλλουσι·

Χαῖρε, λαμπάς τῆς θείας καθάρσεως·

χαῖρε, ὁδηγέ τῆς ψυχῶν ἀνατάσεως.

Χαῖρε, δι᾽ ἧς ὁ Χριστός ἀνυμνήθη·

χαῖρε, δι᾽ ἧς ὁ σατάν κατηργήθη.

Χαῖρε, ἀηδών θεοβρύτου συνάρσεως·

χαῖρε, λαμπηδών οὐρανίου ἐμφάνσεως.

Χαῖρε, ἡ εὐλαβῶν θεόσοφος ὁδηγία·

χαῖρε, ἡ θεουμένη θεολαμπεῖ φωταυγείᾳ.

Χαῖρε, τῆς ἀγάπης τῆς οὐρανίου ταμεῖον·

χαῖρε, τό κρειττόνων ἐν σαρκί ἐκμαγεῖον.

Χαῖρε, Χριστοῦ ἁγιωτάτη παράταξις·

χαῖρε, σατάν τελειωτάτη κατάργησις.

Χαίροις Κασσάνδρα πανεύφημε.

Παραδείσου ἐν μέσῳ ἐντυγχάνουσα, Μῆτερ,* μετά τῶν πρό σοῦ Μαρτύρων καί Δικαίων,* ὧν τόν βίον ἐζήλωσας,* Κασσάνδρα τρισμακαρία,* ὡς δι᾽ ἀρετῆς καί μαρτυρίου ἁγιασθεῖσα,*

ἀξιοχρέως γεραίρεσαι ὑπό πάντων,* τῶν τῷ σέ δοξάσαντι Θεῷ κραυγαζόντων·

Ἀλληλούϊα.

Ῥοῇ αἵματος ἀντί γλώττης* εὐσεβείας τόν λόγον κηρύττει,* Κασσάνδρα ἡ θειοτάτη,* ὅν πρῶτον ἐκείνη ἑαυτῇ διά βίου ἐφήρμοσεν,* λαῷ τῷ τοῦ Θεοῦ·* διό καί ἡ Ἐκκλησία ταύτην τιμῶσα,*
βοᾷ αὐτῇ ἐν χαρᾷ συμφώνως·

Χαῖρε, δοχεῖον τῆς τοῦ Πνεύματος χάριτος·

χαῖρε, ταμεῖον πλῆρες τῆς Αὐτοῦ ἁγιότητος.

Χαῖρε, δι᾽ ἧς ἡ τοῦ Χριστοῦ χάρις δωρεῖται·

χαῖρε, δι᾽ ἧς ἡ τοῦ σατάν κακία σοβεῖται.

Χαῖρε, ὅτι πρός ὕψος ἁγιότητος ἤρθης·

χαῖρε, ὅτι πλουσίων χαρισμάτων ἐπλήσθης.

Χαῖρε, εἰκών ἔμψυχε ἀρραγοῦς καρτερίας·

χαῖρε, ἄνθος μυστικόν οὐρανῶν εὐθαλείας.

Χαῖρε, ἡ τῆς
σαρκός τάς ἀγληδόνας κουφίζουσα·

χαῖρε, ἡ ἁμαρτανόντων πολιτείαν ῥυθμίζουσα.

Χαῖρε, ἡ χρυσή σάλπιγξ τῆς τοῦ λαοῦ εὐσεβείας·

χαῖρε, ἡ διαπρυσία κῆρυξ τῆς τοῦ Χριστοῦ ἀληθείας.

Χαίροις Κασσάνδρα πανεύφημε.

Στέψας τήν κορυφήν σου ὁ Χριστός τῷ τῆς ἀθλήσεως στεφάνῳ,* ἐν Παραδείσῳ μετά Μαρτύρων σέ ἐνέταξε,* Κασσάνδρα μακαρία,* ἔνθα χορεύεις Ἁγίων αὐλιζομένη δήμοις·*
ἡμᾶς διό πάσης βλάβης καί κινδύνου διασώζεις,* τούς τῷ Κυρίῳ ψάλλοντας·

Ἀλληλούϊα.

Τιμήν ἀπ᾽ Ἐκκλησίας ἠξιώθης Κασσάνδρα,* δι᾽ ἐγκρατείας ἐκγυμνασθεῖσα* καί διά μαρτυρίου τόν πάλαι πτερνιστήν καταισχύνασα·* διό τάς ἀριστείας σου τιμῶντες,* οἱ τῇ δρόσῳ τῶν πρεσβειῶν σου ἐλπίζοντες,*
πίστει ἐνθέρμῳ σοί μέλπομεν·

Χαῖρε, ἡ ὑποστάσα μαρτυρίου τούς πόνους·

χαῖρε, ἡ καθελοῦσα γραίας Ἄγαρ τούς γόνους.

Χαῖρε, κανών τῆς Χριστοῦ Ὁμολογίας·

χαῖρε, κρατήρ τῆς οὐρανῶν εὐλογίας.

Χαῖρε, ἡ ἐν ἀγῶσι στερρά καί ἀήττητος·

χαῖρε, ἡ ἐν πόνοις ἀθλητικοῖς ἡ πρόθυμος.

Χαῖρε, πλοῦτος θεοδώρητος ἀρετῶν ἀθλητικῶν·

χαῖρε, σκεῦος πολυτίμητον, πλῆρες θείων δωρεῶν.

Χαῖρε, ἡ δεδοξασμένη τῷ ἤθει τῶν τρόπων·

χαῖρε, ἡ λελαμπρυσμένη τῷ ὄγκῳ τῶν κόπων.

Χαῖρε, ἧς ἡ μνήμη ἐν ἡμῖν μακαρία·

χαῖρε, Ὀρθοδόξων πιστῶν προστασία.

Χαίροις Κασσάνδρα πανεύφημε.

Ὕμνοις ἐπινικίοις τήν σήν πολιτείαν* καί κόπων τῶν μεγίστων τούς πόνους τιμῶμεν,* χαιρετιστήριον ᾠδήν σοί προσφέροντες, Μάρτυς·* τῷ δέ σέ δοξάσαντι Θεῷ τῷ ἐν Τριάδι,* πανευφροσύνως ἐν εὐλαβείᾳ καί κατανύξει ἐκβοῶ μεν·

Ἀλληλούϊα.

Φλέγει βελίαρ τήν ἰσχύν* ἡ ἐνοικοῦσα τοῖς τιμίοις σου Λειψάνοις τοῦ Πνεύματος χάρις,* Κασσάνδρα ἁγιωτάτη·* ἁγιάζει δέ τούς πίστει προστρέχοντας* καί ταῦτα προσκυνοῦντας·* διό μετ᾽ εὐφροσύνης,* ἐν χαρμονῇ σοι βοῶμεν·

Χαῖρε, ἡ ἀρνηθεῖσα τό ἐπίκηρον σῶμα διά Χριστόν·

χαῖρε, ἡ εὐχαρίστως ἐκχύσασα σόν αἷμα δι' Αὐτόν.

Χαῖρε, ἡ μωρή φανεῖσα, διά τήν χάριν τοῦ Κυρίου·

χαῖρε, ἡ ἐν αἵματι κῆρυξ Αὐτοῦ τοῦ Εὐαγγελίου.

Χαῖρε, ἡ τῶν παθῶν τάς ἀκάνθας ἐκτίλλουσα·

χαῖρε, ἡ τῶν ψυχῶν τάς ἀρούρας ἀρδεύουσα.

Χαῖρε, στρατιώτης τοῦ Κυρίου κραταιοτάτη·

χαῖρε, καθαιρέτης τοῦ διαβόλου ἐνθεωτάτη.

Χαῖρε, ἡ διά σημείων ὑπό Θεοῦ κηρυχθεῖσα·

χαῖρε, ἡ τῶν προσφύγων προστάτις φανεῖσα.

Χαῖρε, ἡ τῶν πενθούντων ἀσφαλής παρηγορία·

χαῖρε, ἡ προσαχθεῖσα τῷ Τυθέντι θυσία.

Χαίροις Κασσάνδρα πανεύφημε.

Χαίρουσα τῆς ζωῆς τῆς ἀλήκτου νῦν ἀπολαύεις,* Κασσάνδρα Νεομάρτυς,* σύν πάσῃ ψυχῇ οἵα τόν Κύριον ηὐηρέστησε* καί πάντα τά τῶν Ἀγγέλων καί Δικαίων συστήματα·* ἀπό πάσης δέ λύπης καί ὀργῆς ἡμᾶς ῥύεσαι,* το ύς πόθῳ τελοῦντας τήν μνήμην σου* καί Κυρίῳ ᾄδοντας·

Ἀλληλούϊα.

Ψάλλομεν Κασσάνδρας τήν ἀείφωτον δόξαν, ἥτις Κυρίου τῶν λόγων ποιήτρια ἐδείχθη·* «*ὅστις* – γάρ – *θέλει ὀπίσω μου ἐλθεῖν,* ἀράτω τόν σταυρόν αὐτοῦ*» ἀκούουσα,* ἔσπευσε τρέχουσα καί διά βίου Ἐκείνου μαθήτρια ἐνεφάνη·* διό αὐτῆς τά παλαί σματα θαυμάζοντες βοῶμεν·

Χαῖρε, ἡ λύσασα συνοχήν ψυχοφθόρον·

χαῖρε, ἡ δωρουμένη χαρμονήν θεοφόρον.

Χαῖρε, Μαρτύρων τῶν ἀρχαίων ἡ ἐν αἵματι διάδοχος·

χαῖρε, τῆς εὐκλείας ἐκείνων ἡ ἐν δόξῃ ἰσότιμος.

Χαῖρε, ἡ τούς πτωχούς ἀδελφούς θεωρήσασα·

χαῖρε, ἡ τόν Χριστόν ἐμβασάνως κηρύξασα.

Χαῖρε, ὁμολογίας σάλπιγξ ἡ χρυσίλατος·

χαῖρε, τῆς ἀληθείας κῆρυξ ἡ διαπρύσιος.

Χαῖρε, τό τῆς ἀγάπης τοῦ Χριστοῦ ἔσοπτρον·

χαῖρε, τό τῆς ἀπάτης τῆς Ἄγαρ δρέπανον.

Χαῖρε, ἡ ἐμπνεύσασα τόν ἐμόν χαιρετισμόν·

χαῖρε, ἡ κατευθύνασα ἀσθενοῦντα λογισμόν.

Χαίροις Κασσάνδρα πανεύφημε.

Ὦ Κασσάνδρα καλλίστη,* Τραπεζοῦντος τό κλέος,* Πόντου θρέμμα καί Ποντίων ἀγαλλίαμα,* (γ΄) Ἀγγέλων συμπολῖτα τῶν θείων,* σύν αὐτοῖς καί πᾶσι τοῖς Ἁγίοις* Χριστόν ἐκδυσωπήσατε,* πταισμάτων διδόναι ἡμῖν συγχώρησιν,* τοῖς Αὐτῷ βοῶσιν·

Ἀλληλούϊα.

Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα. Ποίημα γ. Μαγδαληνῆς.

Τὴν ὑπερλάμπουσαν* χάριν, ἀοίδιμε,* τοῦ θείου σκήνους σου,* Μάρτυς πολύαθλε,* ἀπολαυόντες οἱ πιστοί* βοῶμεν σοι, ὦ Κασσάνδρα·* ἅπαν οὖν ἐγκώμιον* τῇ ψυχῇ σου κατάλληλον* δέχου ἐκ τῶν δούλων σου,* τῶν πρός σέ ἐκβοώντων νῦν·* Μαρτύρων ἐγκαλλώπισμα θεῖον* πρέσβευε ὑπὲρ τῶν ἀνυμνούντων σε.

Στίχοι·

*Τόν γράψαντα πολύκλαυστον Ἀντώνιον, ὡς μέγας*

*ὑπάρχει, οὐ ταῖς ἀρεταῖς, ἀλλά ταῖς ἁμαρτίαις,*

*ἐλέησον θεοπειθεῖ πρεσβείᾳ σου Κασσάνδρα*

*πρός τόν Δεσπότην· ἔχεις γάρ Μάρτυρος παρρησίαν.*

*Τῇ δέ Μητρί Του Μαριάμ, τοῦ Σουμελᾶ τῇ Κόρῃ,*

*ὕψωσον χεῖρας, τόν λαόν Αὐτῆς Ποντίους σῶσαι·*

*πρόσφυγες γάρ τυγχάνουσι, κἄν εἰς πατρίδα ὦσιν.*